εἶπεν ‘ἵνα μᾶλλον παροξυνθῶσι Θηβαῖοι καὶ σὺ δίκην δῷς τάχιον.’

5. Θήβης δὲ τῆς τοῦ τυράννου γυναικὸς ἐλθούσης πρὸς Πελοπίδαν καὶ λεγούσης θαυμάζειν ὅτι οὕτως ἱλαρός ἐστι δεδεμένος, αὐτὸς ἔφη μᾶλλον θαυμάζειν
E ἐκείνην, ὅτι μὴ δεδεμένη ὑπομένει Ἀλέξανδρον.

6. Κομισαμένου δ' αὐτὸν τοῦ Ἐπαμεινώνδου, χάριν εἶπεν ἔχειν Ἀλεξάνδρῳ· πεπειρᾶσθαι γὰρ ἑαυτοῦ νῦν μάλιστα οὐ πρὸς πόλεμον <μόνον>, ἀλλὰ καὶ πρὸς θάνατον εὐθαρσῶς ἔχοντος.

# ΡΩΜΑΙΚΑ

## *ΜΑΝΙΟΣ ΚΟΥΡΙΟΣ*

1. Μάνιος Κούριος, ἐγκαλούντων αὐτῷ τινων ὅτι τῆς αἰχμαλώτου χώρας ὀλίγον ἑκάστῳ μέρος διένειμε τὴν δὲ πολλὴν ἐποίησε δημοσίαν, ἐπηύξατο μηδένα γενέσθαι Ῥωμαίων, ὃς ὀλίγην ἡγήσεται γῆν τὴν τρέφουσαν.

2. Σαυνιτῶν δὲ μετὰ τὴν ἧτταν ἀφικομένων πρὸς
F αὐτὸν καὶ χρυσίον διδόντων ἔτυχεν ἐν χύτραις ἕψων